9 ΝΟΕΜΒΡΙΟΥ

Μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νεκταρίου μητροπολίτου Πενταπόλεως τῆς ἐν Αἰγύπτῳ, τοῦ θαυματουργοῦ, τοῦ καὶ κτήτορος τῆς ἐν Αἰγίνῃ Ἱερᾶς Μονῆς τῆς Ἁγίας Τριάδος τῶν μοναζουσῶν, κοιμηθέντος ὁσίως κατὰ τὸ ἔτος ,αρκ΄(1920).

ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΝΕΚΤΑΡΙΟΥ
ΕΠΙΣΚΟΠΟΥ ΠΕΝΤΑΠΟΛΕΩΣ
ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ


Ποίημα Γερασίμου Μοναχοῦ
Μικραγιαννανίτου

* * * * *

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,
Συναπτὴ μεγάλη, μεθ' ἣν ἐκφώνησις·
Ὅτι πρέπει σοι πᾶσα δόξα...


Ἦχος δ΄ Πα



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.


Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.


Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.



ΑΠΟΛΥΤΙΚΙΑ


Τῆς ἐρήμου πολίτης. Ἦχος δ΄ Πα






Δόξα. Ἕτερον.

Ταχὺ προκατάλαβε. Ἦχος δ Δι



Καὶ νῦν. Θεοτοκίον.





Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

ΚΑΘΙΣΜΑΤΑ

[Τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ πολυέλεος τοῦ ἁγίου]

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἥλιος λαμπρός, ἐν ἐσχάτοις τοῖς χρόνοις, ἀνέτειλας ἡμῖν, τῇ ὁσίᾳ ζωῇ σου, Νεκτάριε ὅσιε, καὶ πρὸς δόξαν καὶ αἴνεσιν, πάντας ἤγειρας, Χριστοῦ τοῦ πάντων Δεσπότου, τοῦ σὲ δείξαντος, δεδοξασμένον σε Πάτερ, θαυμάτων δυνάμεσι.

Δόξα. Ὅμοιον.

Ἰάσεις δαψιλεῖς, καθ' ἑκάστην ἡμέραν, πηγάζει θαυμαστῶς, θεϊκῇ χορηγίᾳ, ἡ πάντιμος κάρα σου, μυστικῶς κατευφραίνουσα, τῇ τοῦ Πνεύματος, μυρεψικῇ εὐωδίᾳ, τοὺς προστρέχοντας, μετ' εὐλαβείας καὶ πόθου, τῇ σῇ Μονῇ Ἅγιε.

Καὶ νῦν. Θεοτοκίον.

Αἱμάτων ἐξ ἁγνῶν, τὸν Δεσπότην τῶν ὅλων, τεκοῦσα καὶ ὃ ἦν, μὴ τραπέντα μηδόλως, παρθένος διέμεινας, μετὰ τόκον τὸν ἄφραστον· ὅθεν ἅπαντες, τὰ μεγαλεῖά σου Κόρη μεγαλύνομεν, καὶ τῇ θερμῇ σου πρεσβείᾳ, σωθῆναι ἐλπίζομεν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὴν καθαρότητα, τῆς πολιτείας σου, καὶ τὴν εὐθύτητα, Πάτερ τῶν τρόπων σου, ὡς προσφορὰν πνευματικήν, δεξάμενος ὁ Δεσπότης, ἰαμάτων κρήνην σε ἐν Αἰγίνῃ ἀνέδειξε, τοῖς πιστῶς προστρέχουσι,

τοῖς ἁγίοις λειψάνοις σου, τοῖς νέμουσιν ὀσμὴν οὐρανίαν, πᾶσι καὶ θείαν εὐωδίαν.

Δόξα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Καταπλήττει ἀληθῶς, τὰς διανοίας τῶν πιστῶν, ἡ δοθεῖσά σοι σοφέ, θαυμάτων χάρις ἐκ Θεοῦ, ἡ ἐν τοῖς λειψάνοις σου ἐνεργουμένη. Ὅθεν τῇ Μονῇ τῇ σῇ συῤῥέουσι, πλήθη εὐσεβῶν, ἐκ πάσης τάξεως, καὶ οἱ νοσοῦντες ὑγείαν λαμβάνουσι, τῇ ἀντιλήψει σου Ἅγιε, ἐν εὐφροσύνῃ, Χριστὸν ὑμνοῦντες, τὸν ἁγιάσαντά σε Ὅσιε.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ τῶν ὅλων συνοχεύς, καὶ τῶν αἰώνων Ποιητής, συνεσχέθη ὑπὲρ νοῦν, ὅλος τῇ θείᾳ σου γαστρί, μὴ ἀποστὰς τῆς Πατρικῆς μονῆς Ἄχραντε, διπλοῦς δὲ ἐκ τῆς σῆς, μήτρας προέδραμεν, ἄνθρωπος ὁμοῦ, καὶ Θεὸς τέλειος, καὶ τοῦ Ἀδὰμ τὴν φύσιν ἐθέωσε, καὶ πάντα κόσμον διέσωσεν. Αὐτὸν δυσώπει, Θεογεννῆτορ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

* * *

[ΠΟΛΥΕΛΕΟΣ]

[Ὁ Πολυέλεος· Ψαλμὸς ρλδ΄ (134). Δοῦλοι Κύριον. Ψαλμὸς ρλε΄ (135). Ἐξομολογεῖσθε τῷ Κυρίῳ. Εἶτα ἡ ἐκλογή· Εἰς τὸν ἅγιον Ἰωάννην τὸν Χρυσόστομον καὶ λοιποὺς ἱεράρχας.

Ὁ ἱερεὺς τὴν μικρὰν συναπτὴν καὶ τὴν ἐκφώνησιν·

Ὅτι ἠὐλόγηταί σου τὸ ὄνομα...]

* * *

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ὀρθοδόξων δογμάτων ἑρμηνευτής, διδαχῶν θεοφθόγγων ὑφηγητής, δεικνύμενος Ὅσιε, Ἱεράρχης ὡς ἔνθεος, τῶν εὐσεβῶν ῥυθμίζεις, ἐνθέως τὸ φρόνημα, πρὸς θεϊκὴν ἀγάπην, καὶ τρίβον σωτήριον. Ὅθεν ἐν Αἰγίνῃ, θεοφρόνως ἐγείρεις, Μονὴν σεπτὴν Ὅσιε, εἰς ψυχῶν περιποίησιν θεοφόρε Νεκτάριε, ἐν ᾗ Μοναζουσῶν ἡ πληθύς, τὰ σεπτά σου προσκυνοῦσα λείψανα, εὐλαβῶς ἑορτάζει, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.


Μανναδόχον σε στάμναν καὶ λογικήν, φωτοφόρον λυχνίαν καὶ θεαυγῆ, ὁ θεῖος Νεκτάριος, ἐπιστάμενος Ἄχραντε, ταῖς σαῖς φωταγωγίαις, ψυχὴν καὶ διάνοιαν, ὡς ἀρετῆς ἐργάτης, ἀξίως πεφώτισται· ὅθεν σε παρθένον, ἐν ταὐτῷ καὶ μητέρα, Χριστοῦ πανακήρατον, ὀρθοδόξως ἐκήρυξε, Θεοτόκε Πανύμνητε. Καὶ νῦν τῆς τοῦ Υἱοῦ σου Ἀγνή, ἀπολαύων ὑπὲρ νοῦν ἐλλάμψεως, σὺν Ἀγγέλοις δοξάζει, τὴν ἄῤῥητον δόξαν σου.


* * *

ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.


Ἦχος Βου






Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς μή.


Ἦχος Βου



Στίχ. α΄. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες










Στίχ. β΄. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου,












* * *

ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ


Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...
Ἀμήν.

Σταθερὸν Προκείμενον ὄρθρου.
Ψαλμὸς ρν΄ (150).


Ἦχος Δι



Στίχ. α΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.



Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.



Εὐαγγέλιον.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Κύριε, ἐλέησον. (γ΄)

Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.(κδ΄ 42-47)

(Ζήτει τῇ Λ΄ Σεπτεμβρίου, τοῦ ἁγίου Γρηγορίου, φωτιστοῦ τῆς Ἀρμενίας)

Ὁ διάκονος· Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἱερεὺς ἀπὸ τῶν βημοθύρων ἀναγινώσκει τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου.

Εἶπεν ὁ Κύριος· Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται. Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ἤδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρα οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.


Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.


Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν

δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος Δι








Εἶτα τὸ ἰδιόμελον.
Μέλος Ἰωάννου Ἀρβανίτη.

Ἦχος Πα

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου







Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον (ιβ΄). Ἐλέει καὶ οἰκτιρμοῖς... Ἀμήν.

* * *

ΟΙ ΚΑΝΟΝΕΣ

Ὁ Κανὼν τῆς Θεοτόκου εἰς στ΄
καὶ τοῦ Ἁγίου οἱ δύο εἰς η΄.
Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς·
Χαρᾶς νοητῆς ἀξίωσόν με Κόρη. Γερασίμου.
ὨΙδὴ α΄. Ἦχος α΄. Ὁ εἱρμός.

ὨΙδὴν ἐπινίκιον, ἄσωμεν πάντες, Θεῷ τῷ ποιήσαντι, θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν Ἰσραήλ· ὅτι δεδόξασται. (δίς)

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαρίτων τὴν ἄβυσσον, σαρκὶ τεκοῦσα, Χριστὸν τὸν Θεὸν ἡμῶν, χάριν μοι δώρησαι, τοῖς χείλεσί μου Ἁγνή, ὅπως ὑμνήσω εὐσεβῶς, τὰ μεγαλεῖά σου.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀνήροτος ἄρουρα, Παρθένε ὤφθης, ἀσπόρως βλαστήσασα, ζωῆς τὸν πρύτανιν, τὸν ἐκ πάλαι φθορᾶς, ζωοποιήσαντα ἡμᾶς· ὅτι

δεδόξασται.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ῥημάτων αἰνίγματα, προφητοφθόγγων, ἐν σοὶ πέρας ἔλαβον, Παρθένε ἄχραντε· σὺ γὰρ τεκοῦσα Χριστόν, τύπους τοῦ Νόμου καὶ σκιᾶς, σαφῶς ἐπλήρωσας.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ἀνθήσασαν ῥάβδον σε ὁ Ἡσαΐας, Παρθένε προέγραψεν, ἐν θείῳ Πνεύματι· σὺ γὰρ Χριστὸν τὸν Θεόν, οἷα περ ἄνθος μυστικόν, ἀφράστως ἤνθησας.

Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς·
Νεκταρίῳ αἴνεσις τῷ θεηγόρῳ. Γερασίμου.
Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Νοός μου τὴν ζόφωσιν, τῶν πρεσβειῶν σου, φωτὶ διασκέδασον, καὶ λόγον δίδου μοι, ὡς ἂν ὑμνήσω φαιδρῶς, Νεκτάριε θαυματουργέ, τὴν θείαν μνήμην σου.
Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ἐσχάτοις ἐν ἔτεσιν, ἐξανατείλας, ὡς ἄδυτος, φωτὶ τῶν ἔργων σου, εὐαγγελίου τὸ φῶς, ἐκφαίνεις Πάτερ θαυμαστῶς, πᾶσι τοῖς πέρασι.
Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Κατ᾽ ἴχνος Νεκτάριε, ἀκολουθήσας, ζωῆς καθαρότητι, τοῖς πάλαι ὅσιε, ἀρχιερεῦσι Χριστοῦ, ἴσος εὐκλείας τῆς αὐτῶν, ὤφθης καὶ μέτοχος.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Τὴν φύσιν τὴν ἄστεκτον, ἐν τῇ γαστρί σου, ἀφλέκτως βαστάσασα, σαρκὶ γεγέννηκας, δίχα τροπῆς καὶ φυρμοῦ, Χριστὸν τὸν πάντων ποιητήν, Παρθένε ἄχραντε.

Κανὼν δεύτερος, οὗ ἡ ἀκροστιχίς·
Νέκταρ ζωῆς ἡμῖν Πάτερ δίδως. Γερασίμου.
Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ναμάτων τοῦ Πνεύματος, ἐμφορηθεὶς βίῳ κρείττονι, τὸ νέκταρ τῆς χάριτος, ἤδη ἀνέβλυσας, καὶ κατηύφρανας, ἡμῶν τὰς διανοίας, Νεκτάριε ὅσιε, τοῖς σοῖς χαρίσμασι.
Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ἑόρτιον αἴνεσιν, ἀγαλλομένη προσάδει σοι, καὶ νέαν πανήγυριν, κροτεῖ σοι Ἅγιε, ἡ ὀρθόδοξος, ἁγία Ἐκκλησία, τῇ σῇ ἁγιότητι, ἐχθροὺς αἰσχύνουσα.

Δόξα.

Κοσμήσας τὸν βίον σου, ἀπὸ νεότητος ὅσιε, ἠθῶν τῇ σεμνότητι,

τῆς ἀρετῆς ἐραστής, ὤφθης γνήσιος, καὶ τῆς σοφίας μύστης, ἐνθέῳ φρονήματι, Πάτερ Νεκτάριε.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πάντων βασίλισσαν, καὶ ἀειπάρθενον Δέσποιναν, ὑμνῶν θείοις λόγοις σου, ἐκ ταύτης ἔλαβες, σθένος ἄμαχον, καὶ πειρασμῶν ἐφόδους, ἐν βίῳ ὑπέμεινας, ἀνδρείως Ἅγιε.

Τῆς Θεοτόκου. Ὠδὴ γ΄.

Ἦχος α΄. Ὁ εἱρμός.

Στερεωθήτω ἡ καρδία μου, εἰς τὸ θέλημά σου Χριστὲ ὁ Θεός, ὁ ὑφ᾽ ὑδάτων οὐρανόν, στερεώσας τὸν δεύτερον, καὶ ἑδράσας ἐν τοῖς ὕδασι, τὴν γῆν Παντοδύναμε. (δίς)

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σκηνὴ τοῦ Λόγου ἡ πολύτιμος, τὸ τῆς θείας δόξης ἁγίασμα, ὁ οὐρανὸς ὁ λογικός, ἐξ οὗ κόσμῳ ἀνέτειλεν, ὁ ζωῆς ἄδυτος ἥλιος, ἡ Θεοτόκος ὑμνείσθω μοι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νόμους τῆς φύσεως διέλαθες, καὶ τὸν νομοδότην καὶ Κύριον, δίχα φθορᾶς τε καὶ φυρμοῦ, Θεοτόκε ἐκύησας, ζωῆς νέας ἐγκαινίζοντα, τοὺς νόμους ἐν Πνεύματι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὄρος ἐδείχθης ἀλατόμητον, καὶ δασὺ καὶ πῖον ἐν Πνεύματι, ἐξ οὗ ἐπέφανεν ἡμῖν, ὁ ἁπτόμενος Δέσποινα, τῶν ὀρέων καὶ καπνίζονται, ὡς φησὶ Δαυῒδ ὁ δίκαιος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ κιβωτὸς τοῦ ἁγιάσματος, τὸ θεοπρεπὲς ἱλαστήριον, τῆς εὐδοκίας τοῦ Θεοῦ, ὁ εὐώδης παράδεισος, ἀνυμνείσθω θείοις ᾄσμασιν, ἡ Παρθένος καὶ Δέσποινα.

Τοῦ Ἁγίου. Ὠδὴ γ΄.

Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀγάπῃ θείᾳ ἐκ νεότητος, Πάτερ ἱερῶς στοιχειούμενος, ἀκολουθῆσαι τῷ Χριστῷ, ἠρετίσω Νεκτάριε, καὶ ἐκ πάσης ματαιότητος, ἐμφρόνως ἐμάκρυνας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥήσεσι Πάτερ τῶν χειλέων σου, στάζεις γλυκασμὸν τὸν οὐράνιον, ἐν ταῖς καρδίαις τῶν πιστῶς, δεχομένων τὸν λόγον σου, καὶ παιδεύεις πρὸς τὰ κρείττονα, πιστῶς τὴν διάνοιαν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱεραρχῶν νέον ἀγλάϊσμα, ὤφθης ἱεράρχα Νεκτάριε, ἁγιωσύνην ἀληθῆ, ἐνδυσάμενος Ὅσιε, πολιτείας καθαρότητι· διὸ εὐφημοῦμέν σε.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὡραϊσμένη ὑπὲρ ἔννοιαν, ταῖς τῆς παρθενίας λαμπρότησι, τίκτεις Θεὸν ὑπερφυῶς, μετὰ σώματος Ἄχραντε, καὶ τῆς Εὔας τὸ κατάκριμα, ἐν τῷ τόκῳ σου ἔλυσας.

Δεύτερος. Ὠδὴ γ΄.

Ἦχος δ΄. Τοὺς σοὺς ὑμνολόγους.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἁγίων σοφῶς ἰχνηλατήσας, τοὺς τρόπους καὶ πράξεις τὰς ἀγνάς, τὸν νοῦν σου καθηγίασας, ἐν πάσῃ ὁσιότητι, Νεκτάριε μακάριε, καὶ τὴν καρδίαν ἐκάθηρας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥαντίσματι ὕδατος τοῦ θείου, τὴν βλάβην τῶν δένδρων καὶ φυτῶν, ἀπήλασας Νεκτάριε, καὶ πλοῦτος θείας χάριτος, τοῖς Αἰγινήταις πέφηνας, θαυμαστωθεὶς θείῳ Πνεύματι.

Δόξα.

Ζωὴν τὴν ἡσύχιον ποθήσας, Μονὴν ᾠκοδόμησας σεπτήν, ἐν τῇ Αἰγίνῃ Ὅσιε, καὶ τύπος θείων πράξεων, ἐν ταύτῃ ἐχρημάτισας, ταῖς μοναζούσαις Νεκτάριε.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς Μήτηρ Θεοῦ τοῦ φιλανθρώπου, σπλαγχνίσθητι Κόρη ἐπ᾽ ἐμοί, καὶ ἴασαι τὸν καύσωνα, τὸν τῆς ψυχῆς μου δέομαι, τῇ δρόσῳ τῆς σῆς χάριτος, ἵνα σωθεὶς μεγαλύνω σε.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κάθισμα τοῦ Ἱεράρχου.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀρετῆς διανύσας τὸν δρόμον Ὅσιε, θεοπρεπῶς μετετέθης πρὸς τὴν ἀγήρῳ ζωήν, καὶ ἁγίων κοινωνὸς ὤφθης Νεκτάριε, μεθ᾽ ὧν πρέσβευε ἀεί, τῷ Παντάνακτι Χριστῷ, δοθῆναι πταισμάτων λύσιν, καὶ ψυχικὴν σωτηρίαν, τοῖς ἑορτάζουσι τὴν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν ὑπέρτιμον στάμνον καὶ θεοχώρητον, τὴν ἀειπάρθενον κόρην καὶ Θεοτόκον Ἁγνήν, ἀνυμνήσωμεν πιστοὶ καὶ μεγαλύνωμεν· ὅτι ἐῤῥύσατο ἡμᾶς, ἐκ τῆς ἀρχαίας ἀρᾶς, τεκοῦσα ἀπειρογάμως, τὸν ὑπερούσιον Λόγον, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον τοῦ Ἱεράρχου.

Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Ὀρθοδοξίας τὸν ἀστέρα τὸν νεόφωτον
Καὶ Ἐκκλησίας τὸ νεόδμητον προτείχισμα
Ἀνυμνήσωμεν καρδίας ἐν εὐφροσύνῃ·
Δοξασθεὶς γὰρ ἐνεργείᾳ τῇ τοῦ Πνεύματος
Ἰαμάτων ἀναβλύζει χάριν ἄφθονον
Τοῖς κραυγάζουσι· Χαίροις Πάτερ Νεκτάριε.

Ὁ Οἶκος.

Ἄνθρωπος οὐρανόφρων, ἀνεδείχθης ἐν κόσμῳ, Νεκτάριε Χριστοῦ Ἱεράρχα· ζωὴν γὰρ ὁσίαν διελθών, ἀκέραιος ὅσιος καὶ θεόληπτος, ἐν πᾶσιν ἐχρημάτισας ἐντεῦθεν παρ᾽ ἡμῶν ἀκούεις·
Χαῖρε δι᾽ οὗ οἱ πιστοὶ ὑψοῦνται·
χαῖρε δι᾽ οὗ οἱ ἐχθροὶ θαμβοῦνται.
Χαῖρε τῶν Ὁσίων Πατέρων ἐφάμιλλος·
χαῖρε Ὀρθοδόξων ὁ θεῖος διδάσκαλος.
Χαῖρε Οἶκος ἁγιώτατος ἐνεργείας θεϊκῆς·
χαῖρε βίβλος θεοτύπωτος πολιτείας τῆς καινῆς.
Χαῖρε ὅτι ἀρτίως ἡμιλλήθης Ἁγίοις·
χαῖρε ὅτι ἐμφρόνως ἐχωρίσθης τῆς ὕλης.
Χαῖρε λαμπρὸν τῆς πίστεως τρόπαιον·
χαῖρε σεπτὸν τῆς χάριτος ὄργανον.
Χαῖρε δι᾽ οὗ Ἐκκλησία χορεύει·
χαῖρε δι᾽ οὗ νῆσος Αἴγινα χαίρει·
Χαίροις Πάτερ Νεκτάριε.

Συναξάριον.

Τῇ Θ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νεκταρίου, μητροπολίτου Πενταπόλεως τῆς ἐν Αἰγύπτῳ, τοῦ θαυματουργοῦ, τοῦ καὶ κτήτορος τῆς ἐν Αἰγίνῃ ἱερᾶς μονῆς Ἁγίας Τριάδος τῶν μοναζουσῶν, κοιμηθέντος ὁσίως κατὰ τὸ ἔτος ,αῳθ΄ (1920).

Στίχ. Νέκταρ τῆς ζωῆς τῆς αἰωνίου πίνων,
Νᾶμα Νεκτάριε, ἰάσεων βλύζεις.

Ἀμφ᾽ ἐνάτῃ Νεκταρίῳ ἐκ ῥεθέων θυμὸς ἤρθη.

Οὗτος ὁ νεοφανὴς καὶ περιφανὴς τῆς Ἐκκλησίας φωστήρ, ἦν ἐκ Σηλυβρίας τῆς Θράκης. Ἐγεννήθη τῇ α΄ Ὀκτωβρίου μηνὸς σωτηρίου ἔτους ,αωμ΄ ἐκ γονέων εὐσεβῶν, Δήμου καὶ Βασιλικῆς καλουμένων, τοὐπίκλην Κεφαλᾶ, Ἀναστάσιος ἐν τῷ θείῳ Βαπτίσματι κληθείς. Ἐκ νεαρᾶς ἡλικίας προετύπου οἷος ἔμελλε γενέσθαι. Θείῳ γὰρ φόβῳ ἐστοιχειοῦτο, καὶ ἤθεσι σεμνοῖς καὶ προτερήμασι θεοφιλέσι κατεκοσμεῖτο, ἔρωτι δὲ τῆς τε θύραθεν καὶ τῆς ἔσω παιδείας κάτοχος γενόμενος, τὰς πρώτας ἀρχὰς τῆς ἐγκυκλίου γνώσεως ἐπορίσατο ἐν τῇ οἰκείᾳ πατρίδι. Παραγενόμενος δὲ ἐν τῇ βασιλίδι τῶν πόλεων, ἐν ᾗ ὑπομίσθιος ἐπί τινι καιρῷ διαγαγών, νύκτωρ καὶ μεθ᾽ ἡμέραν

ἐμελέτα ἐν ταῖς τῶν ἁγίων Πατέρων θεοσόφοις δέλτοις, δι᾽ ὧν ἐλαμπρύνετο κατὰ τὸν ἔσω ἄνθρωπον, κατευθύνων τὰ κατ᾽ αὐτὸν ἀμέμπτως τῷ θείῳ θελήματι. Ἐκ τούτων δὲ συλλέξας ὡς μέλισσα μελουργὸς τὰ καίρια, ἐν οἷς ἡ ὄνησις καὶ ἡ ὠφέλεια ἐμφανεστέρα, κατήρτισεν ἴδιον τεῦχος, ὅπερ προσφόρως κέκληκε «Λογίων θησαύρισμα». Ἔνθεν ἀποδημίᾳ χρησάμενος, ἦλθεν εἰς Χίον, τὸ εἰκοστὸν τῆς ἡλικίας ἔτος ἄγων, καὶ ἔν τινι χωρίῳ ταύτης, οὗ τὸ ὄνομα Λίθειον, τὴν τοῦ παιδονόμου καὶ παιδαγωγοῦ ἐπωμίσθη ὑπουργίαν, καὶ ἣν διδάσκων τὴν ὧδε νεολαίαν ἐν ἀγάπῃ καὶ ζήλῳ καὶ εὐσεβείᾳ, τὰ καλὰ καὶ ὠφέλιμα καὶ σωτηρίας ἐχόμενα. Ποθῶν δὲ ἐνθέῳ ῥοπῇ τὴν τῶν μοναχῶν ὁσίαν καὶ ἀγγελικὴν διαγωγήν, προσῆλθεν ἔμπλεως θείου ἔρωτος τῇ ἐν τῇ νήσῳ ταύτῃ Νέᾳ Μονῇ καλουμένῃ, ἔνθα περιεβλήθη τῆς ἐν Χριστῷ φιλοσοφίας τὸν τρίβωνα, γενόμενος μοναχός, τῇ ζ΄ Ἰανουαρίου μηνός, ἐν ἔτει ,αωος΄, μετονομασθεὶς Λάζαρος· καὶ ὤφθη ἐν τῇ ὁσίᾳ ἀδελφότητι τῆς ῥηθείσης Μονῆς, τύπος πάσης ἀσκητικῆς πράξεως καὶ ἐναρέτου ἰδέας, καὶ ἀγαπητός, καὶ ἐράσμιος πᾶσιν, ὡς τὰ ἄνω φρονῶν καὶ ζητῶν. Ἔνθεν ἑνὸς παρεληλυθότος ἐνιαυτοῦ ἀπὸ τῆς τοῦ ἁγίου σχήματος περιβολῆς, ἐχειροτονήθη Διάκονος, ἐν ἔτει ,αωοζ΄, χερσὶν ἱεραῖς τοῦ τότε ἐν Χίῳ ἀρχιερατεύοντος Μητροπολίτου Γρηγορίου, παρ᾽ οὗ καὶ τὴν κλῆσιν Νεκτάριος ἐδέξατο.

Ἐπιποθῶν σφόδρα κάτοχος γενέσθαι πολλῷ πλείονος παιδείας, ὡς ἂν γένηται ἀρτίως κατηρτισμένος ἐν πᾶσι, καὶ διακονήσῃ ἀξίως τῷ Κυρίῳ, ἐν τῷ Εὐαγγελίῳ τῆς χάριτος, προτροπῇ καὶ χορηγίᾳ εὐσεβοῦς τινός, οὗ ἡ κλῆσις Ἰωάννης Χωρέμης, ἐλθὼν ἐν Ἀθήναις, ἤγαγεν εἰς πέρας τὸ πλήρωμα τῆς ἐν γυμνασίῳ καλουμένῳ παιδευμάτων, καὶ εἶτα ἐξ Ἀλεξάνδρου πόλεως τῆς ἐν Αἰγύπτῳ, ἐν ᾗ ἤδη παρεγένετο, εὐνοίᾳ καὶ ὁδηγίᾳ τοῦ τότε Πατριάρχου αὐτῆς Σωφρονίου, ἐπανῆκεν ἐν τῷ τῆς Παλλάδος ἄστει, καὶ ἔνθους μύστης τῆς θεολογικῆς ἐπιστήμης ὤφθη, φοιτήσας τῇ θεολογικῇ Σχολῇ τοῦ ἐνταυθοῖ Πανεπιστημίου. Καὶ ἤδη ἔμπλεως δαψιλοῦς γνώσεως καὶ σοφίας, ὡς ἄριστος μύστης τῆς ἱερᾶς θεολογίας, ἐπανῆλθε τῇ τοῦ Ἀλεξάνδρου πόλει τῇ κγ΄ μηνὸς Μαρτίου ἐν ἔτει ,αωπς΄, ἔνθα κεχειροτόνηται πρεσβύτερος, τῇ δὲ ιε΄ τοῦ μηνὸς Ἰανουαρίου τοῦ σωτηρίου ἔτους ,αωπθ΄ τἄνωθεν ἐπιπνοίᾳ καὶ χάριτι, ὁσίαις χερσὶ καὶ τελετῇ ἁγίᾳ, ἐγένετο ἀρχιερεύς, προχειρισθεὶς Μητροπολίτης τῆς πάλαι ποτὲ διαλαμψάσης κατ᾽ Αἴγυπτον Μητροπόλεως Πενταπόλεως καὶ ἔλαμψεν οἷα λύχνος φαεινὸς ἐπὶ τῆς ἱερᾶς λυχνίας, κατὰ τὴν τοῦ Σωτῆρος ῥῆσιν, διαχέων πανταχοῦ τὸ φῶς τῶν Εὐαγγελικῶν ἀρετῶν, καὶ τῆς θύραθεν καὶ θείας σοφίας, ἐν ἔργῳ καὶ λόγῳ καὶ ἀναστροφῇ καὶ παντοδαπέσι χάρισι διαπρέπων, ἐν τῇ κατ᾽ Αἴγυπτον ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ.

Ἀλλ᾽ ἐπηρείᾳ τοῦ τοῖς καλοῖς φθονοῦντος, καὶ τοῖς δικαίοις ἐπιβουλεύοντος ἐχθροῦ, καὶ ἀδίκῳ βουλῇ, ὁ πλήρης ἀγάπης καὶ ἀνεξικακίας καὶ πραότητος οὐρανόφρων οὗτος Πατήρ, ἐμάκρυνε, φυγῇ χρησάμενος, τῆς Ἀλεξάνδρου πόλεως, καὶ ἐπανελθὼν τῇ Ἑλλάδι, πρῶτον μέν, ἐν πολλῇ ταπεινώσει καὶ ἀκτημοσύνῃ καὶ Ἀποστολικῷ ζήλῳ, ὡς ἱεροκῆρυξ τοῦ Εὐαγγελίου τῆς χάριτος, εἶτα δὲ ὡς θεόσοφος ὑφηγήτωρ τοῦ ἱεροῦ τῆς Ἐκκλησίας παιδευτηρίου, οὗ ἡ κλῆσις Ῥιζάρειος Σχολή, ἀνεδείχθη ἐν πᾶσι μέγας, ἐν θεοκλήτῳ ζωῇ καὶ τρόπῳ καλλυνόμενος, ὡς μιμητὴς τῶν πάλαι ἁγίων Πατέρων, καὶ ἀληθὴς θεράπων Κυρίου, καὶ ἐκλεκτὸν σκεῦος τοῦ Παναγίου Πνεύματος, καὶ πλείστους καρποὺς προσήγαγε τῇ ἁγίᾳ Ἐκκλησίᾳ, ὡς κατάκαρπος φοῖνιξ, κατὰ τὸν θεῖον φάναι Δαβίδ, πεφυτευμένος ἐν τοῖς

ὕδασι τῶν θείων ἀρετῶν.
Τοὐντεῦθεν, ἀγάπῃ θείᾳ ὅλως πτερούμενος, ἔτι δὲ τὸν ἡσύχιον βίον, ἐφέσει πολλῇ ἐπιζητῶν, ἐπανέστηκε πάντων τῶν ἐν κόσμῳ, εὑρὼν δὲ ἐν τῇ νήσῳ τῇ καλουμένῃ Αἰγίνῃ, ἐν καταλλήλῳ ἐκεῖσε τόπῳ παλαιόν τι Μονύδριον, ἀνῳκοδόμησεν αὐτὸ ἐκ βάθρων, τῇ τῆς Ἁγίας καὶ Ὁμοουσίου Τριάδος καθιερώσας χάριτι, καὶ τελείαν ἀναδείξας γυναικῶν Μονήν, κόποις καὶ καμάτοις καὶ ἱδρῶσι πολλοῖς, ἔνθα πλεῖσται σεμναὶ παρθένοι καὶ εὐλαβεῖς γυναῖκες, ἀποταξάμεναι τῶν ἐν κόσμῳ, προσῆλθον καὶ ἐγένοντο μοναχαί, παιδοτριβούμεναι καὶ καθοδηγούμεναι ταῖς ἱεραῖς αὐτοῦ χερσὶ καὶ πατρικαῖς ὑποθήκαις, εἰς τὴν κατὰ Χριστὸν ζωὴν καὶ θείαν φιλοσοφίαν. Ὁ δὲ θεῖος Νεκτάριος, ἀνεδείχθη ἀληθῶς ἄγγελος ἐν σώματι· συνεχέσι γὰρ προσευχαῖς καὶ συντόνοις ἱεραῖς μελέταις ἐσχόλαζε· καὶ ἐκάθηρε καὶ καθήγνισε τελείως ἑαυτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ πάσης ὑλικῆς κατὰ νοῦν ἐμφάσεως, γενόμενος ταμεῖον τῶν δωρεῶν καὶ χαρισμάτων τοῦ Παρακλήτου, καὶ πλήρης θείων ἐλλάμψεων· καὶ ἦν τοῖς πᾶσιν ὑπὲρ ἄγαν ποθητὸς καὶ αἰδέσιμος, ἕλκων πρὸς ἑαυτὸν πάντας ὡς μαγνήτης τὸν σίδηρον.
Οὕτω διήγαγε τὴν μακαρίαν ζωὴν ὁ θεῖος οὗτος Πατήρ, ἀναζωγραφήσας ἐν ἑαυτῷ τῶν πάλαι Ἁγίων τὰς ἀρετὰς καὶ χάριτας, ἐν τοῖς δεινοῖς καὶ χαλεποῖς τούτοις καιροῖς. Ἀσθενήσας δὲ μικρόν, ἐκοιμήθη ἐν Κυρίῳ τῇ θ΄ Νοεμβρίου μηνός, ἐν ἔτει ,αῳϟκ΄, ἐν τῷ ἐν Ἀθήναις νοσηλευτηρίῳ, φέροντι τὴν κλῆσιν «Ἀρεταίειον», τὸ δὲ ἱερὸν αὐτοῦ σκῆνος μετηνέχθη ἐν Αἰγίνῃ καὶ ἐτάφη ἐν τῇ ἱερᾷ αὐτοῦ Μονῇ. Ὁ θεῖος Νεκτάριος, πρὸς τοῖς ἄλλοις ἐκ Θεοῦ χαρίσμασιν, εἴληφε καὶ τὸ δαψιλῶς θαυματουργεῖν ἐν εὐκαιρίαις καὶ θλίψεσι τοῖς προσερχομένοις αὐτῷ. Πάμπολλα δὲ εἰσὶ τὰ θαύματα, ἅτινα ἐνήργησε καὶ ἐνεργεῖ τοῖς ἐγγὺς καὶ τοῖς μακράν, ἀσθενοῦντας θεραπεύων, δαίμονας διώκων, τοὺς ἐν κινδύνοις διασῴζων, πολλοῖς δὲ καὶ φαινόμενος ὄψεσιν ἁγίαις, καὶ πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα, ὡς ἡ δέλτος τῆς κατ᾽ αὐτὸν ὁσίας ζωῆς διεξοδικῶς ἱστορεῖ.
Τῷ σωτηρίῳ ἔτει ,αῳνγ΄ τῇ β΄ τοῦ μηνὸς Σεπτεμβρίου, ἐγένετο ἡ ἀνακομιδὴ τῶν ἱερῶν αὐτοῦ λειψάνων, ὧν ἡ ἀῤῥητος καὶ οὐράνιος εὐωδία, ὑπὲρ πάντα τὰ ἀρώματα κατὰ τὴν θείαν ῥῆσιν, ἐξιστᾷ καὶ εὐφραίνει καὶ ἁγιάζει τοὺς εὐλαβῶς προσιόντας τῇ εὐαγεῖ αὐτοῦ Μονῇ. Πλεῖστα δὲ συντεταχώς, τῇ ἄνωθεν ἐπινεύσει, συγγράμματα καταλέλοιπε αὐτὰ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ὡς πλοῦτον οὐράνιον καὶ πυξία θεόγραφα, μυσταγωγοῦντα ἡμᾶς βίου λαμπρότητα, πίστεως ἀκρίβειαν, ἠθῶν καθαρότητα, καὶ εἴ τι καλὸν καὶ ὠφέλιμον, πρὸς σωτηρίαν αἰώνιον.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Ὀνησιφόρου καὶ Πορφυρίου. (~†284-305)

Στίχ. Ἵπποις πρὸς Θεὸν Ὀνησιφόρε τρέχων
ἔχεις συνιππεύοντα καὶ τὸν οἰκέτην.
Νύσσης οὐρανίης ἐπέβητ᾽ ἐνάτη ᾧ Ἀθληταί.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῖς ὁσίας μητρὸς ἡμῶν Ματρώνης. (†492)

Στίχ. Ζωῆς μελλούσης ἀξιοῦται Ματρῶνα,
Ὡς ἐν βίῳ ζήσασα ταύτης ἀξίως.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Θεοκτίστης τῆς Λεσβίας, ἐν Πάρῳ ἀσκησάσης. (†881)

Στίχ. Λέσβου τὸ θρέμμα, παρθένος Θεοκτίστη,

Κτίστῃ Θεῷ πρόσεισι νύμφη παγκάλη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων γυναικῶν, Εὐστολίας (†610) καὶ Σωπάτρας (†625).

Στίχ. Ὅλη καλὴ σὺ πρὸς Θεὸν χωρεῖς Λόγον,
Στολαῖς σταλεῖσα ψυχικαῖς Εὐστολία.

Σωπάτρα Πατρὸς Πνεύματός τε καὶ Λόγου,
Θρόνῳ παρέστη, δοῦσα γῇ τὸ σαρκίον.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Ἀντωνίου. (ε΄ αἰ.)

Στίχ. Ἀντώνιον κτείνουσι τὸν θεῖον ξύλοις,
Οἱ τὸ ξύλον τιμῶντες ὡς θεὸν πλάνοι.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι Χριστοφόρος καὶ Μαῦρα ξίφει τελειοῦνται.

Στίχ. Πλάνην ἀμαυροῖ Μαῦρα καρθεῖσα ξίφει.
Χριστοῦ δὲ τμηθεὶς φῶς ὁρᾷ Χριστοφόρος.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι Ναρσῆς καὶ Ἀρτέμων ξίφει τελειοῦνται.

Στίχ. Ναρσῆς σὺν Ἀρτέμονι ἐκκοπεὶς ξίφει,
Σὺν Ἀρτέμονι λαμβάνει καὶ τὰ στέφη.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος Ἰωάννης ὁ Κολοβὸς ἐν εἰρήνῃ τελειοῦται. (†407)

Στίχ. Ἰωάννην ἔκρυψε γῆς βραχὺς τόπος,
Ὅς, κἂν βραχὺς τὸ σῶμα, τὴν πρᾶξιν μέγας.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος Ἑλλάδιος ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Εἰ καὶ μετέστης, Ἑλλάδιε, τοῦ βίου,
Πίναξ ἔμεινας ἀρετῶν τοῖς ἐν βίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος πατὴρ ἡμῶν Συμεὼν ὁ Μεταφραστὴς ἐν εἰρήνῃ τελειοῦται. (†987)

Στίχ. Ἐκκλησία σοι Συμεών, ὄφλει χάριν,
Ὑπὲρ μεταφράσεως Ἁγίων βίων.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ὅσιοι πατέρες ἡμῶν Εὐθύμιος (†991) καὶ Νεόφυτος (†1118), οἱ κτήτορες τῆς σεβασμίας μονῆς τοῦ Δοχειαρίου, ἐν εἰρήνῃ τελειοῦνται.

Στίχ. Εὐθύμιον συνάμα τῷ Νεοφύτῳ,
Τιμῶ, κτίσαντας τὴν Μονὴν Ἀρχαγγέλων.

Τῇ αὐτῇ ἡμέρᾳ, ἀνάμνησιν ποιούμεθα τοῦ φρικτοῦ θαύματος τῆς ὑπεραγίας Θεοτόκου τῆς Γοργοϋπηκόου τοῦ γενομένου ἐν τῇ ἐν Ἄθῳ μονῇ τοῦ Δοχειαρίου, ὅτε ἡ σεβασμία εἰκὼν αὐτῆς ἀναφωνήσασα ἐπιτιμητικῶς, ἐπάταξεν ἀορασίᾳ τὸν ἀμελῆ τραπεζοκόμον Νεῖλον, τὸν διὰ φωτιστικῶν δᾳδῶν εἰκῆ διερχόμενον καὶ διὰ τῆς αἰθάλης ἀμαυροῦντα δεινῶς τὴν καθαρωτάτην αὐτῆς μορφήν.

Στίχ. Γοργῶς ἀκούεις πιστῶν, Ἁγνή, αἰτήσεις·
Γοργῶς αὐτοῖς ἐπιβραβεύεις δωρεάς.
Γοργοϋπήκοος φθέγξατο Εἰκὼν ἀμφὶ ἑνάτην.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ὀνησιφόρου, τῆς

Λαύρας τῶν Σπηλαίων τοῦ Κιέβου. (†1148)

Στίχ. Ὄνησις μόνη ἦν τῷ Ὀνησιφόρῳ,
Ὀπίσω τρέχειν τοῦ γλυκέος Κυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ἀγριππίνου (Agrippinus), ἐπισκόπου Νεαπόλεως τῆς Ἰταλίας. (β΄ ἢ γ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Οὐρσίνου (Ursinus), ἐπισκόπου Ἀβαρικοῦ (Avaricum, Bourges) ἐν Γαλλίᾳ. (γ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Βενινίου (Benignus, Benen), ἐπισκόπου Ἀρμάγης (Armagh) ἐν Ἰρλανδίᾳ. (†468)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Πάβωνος (Pabo), κτίτορος τῆς μονῆς κληθείσης ὕστερον Λλάνβαβο (Llanbabo), ἐν Ἀγγλεσέῃ (Anglesey) τῆς Οὐαλίας. (~†510)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Βιτόνου (Vitonus, Vanne, Vaune), ἐπισκόπου Βεροδόνου (Verodunum, Verdun) ἐν Γαλλίᾳ. (~†525)


Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ


Τῆς Θεοτόκου (πρὸ τῶν Εἰσοδίων).
Ἀπὸ τῆς 8ης μέχρι τῆς 20ῆς Νοεμβρίου ψάλλονται
αἱ Καταβασίαι τῆς Θεοτόκου μετὰ παραλλαγῶν.

Ἦχος  Βου ξ

ᾠδὴ α΄




ᾠδὴ γ΄






ᾠδὴ δ΄




ᾠδὴ ε΄




ᾠδὴ ϛ΄






ᾠδὴ ζ΄





ᾠδὴ η΄


Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.




Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ




δυ να τος και α γι ον το ο νο μα αυ τϑ και
το ε λε ος αυ τϑ εις γε νε αν και γε νε
αν τοις φο βϑ με νοις αυ τον
Βϑ
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
4
Βϑ
Ε ποι η σε κρα τος εν βρα χι ο νι αυ τϑ
δι ε σκορ πι σεν υ πε ρη φα νϑς δι α νοι
α καρ δι ας αυ των
Βϑ
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
5
Βϑ
Κα θει λε δυ να στας α πο θρο νων και υ υ


ψω σε τα πει νϑ ϑς πει νων τας ε νε πλη σεν α γα
θω ων και πλϑ τϑ ϑν τας ε ξα πε στει λε κε
νϑ ϑς
Τ Μ Βϑ Μ Δι
ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
Μ Βϑ
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο μεν
6 Βϑ
Αν τε λα βε το Ισ ρα ηλ παι δος αυ τϑ
μνη σθη ναι ε λε ϑς κα θως ε λα λη σε προς
τϑς πα τε ρας η μων τω Α βρα αμ και τω σπερ
μα τι αυ τϑ ε ως αι ω νος
Τ Μ Βϑ Μ Δι
ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
Μ Βϑ
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο μεν

ᾠδὴ θ΄



Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·


Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *


ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ


Τοῦ Ἱεράρχου.

Ὁ οὐρανὸν τοῖς ἄστροις. Ἦχος Γα ϱ




Ὅμοιον.






Θεοτοκίον.




* * *

ΑΙΝΟΙ

Ἦχος ⸗ Πα







Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Στίχ. α΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἀσματικῶς συνελθόντες πανηγυρίσωμεν, τὴν μνήμην τὴν ἁγίαν, Νεκταρίου τοῦ θείου, τοῦ ἄρτι δοξασθέντος παρὰ Χριστοῦ, τῇ τοῦ βίου λαμπρότητι, τῶν ἰαμάτων ταῖς χάρισι θαυμαστῶς, εὐσεβῶν εἰς περιποίησιν.

Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἡ τῶν λειψάνων σου θήκη Πάτερ Νεκτάριε, ὡς ἄλλη καθορᾶται, Σιλωὰμ κολυμβήθρα· νοσήματα γὰρ παύει τὰ χαλεπά, καὶ ὑγείαν καὶ λύτρωσιν, τοῖς πρὸς αὐτὴν προσιοῦσι νέμει ἀεί, ἐνεργείᾳ τῇ τοῦ Πνεύματος.

Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Τίς ἐπαξίως ὑμνήσει τὰς δυναστείας σου, ὦ Ζωοδότα Σῶτερ; ὅτι δέδωκας ἤδη, στύλον καὶ ἑδραίωμα ἀῤῥαγές, τῇ σεπτῇ Ἐκκλησίᾳ σου, τὸν θεηγόρον Νεκτάριον ἀληθῶς, τὸν ὁσίως σοι λατρεύσαντα.


Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.


Ὑπὲρ ὀσμὴν ἀγροῦ πλήρους, κατὰ τὴν θείαν φωνήν, ἡ εὐωδία πέλει, τῶν σεπτῶν σου λειψάνων, Νεκτάριε τρισμάκαρ τῶν εὐσεβῶν, τὰς αἰσθήσεις εὐφραίνουσα· ὅθεν ἡ Αἴγινα βλέπουσα τὴν ἐν σοί, θείαν χάριν μακαρίζει σε.


Δόξα.

Μέλος Ἰωάννου Ἀρβανίτη.

Ἦχος πλ. δ΄ Πα





Πα
Κε
Δι
Πα
Δ
Κε
Πα
Δ
Δι
Πα
Δ
Κε
Πα
Κε



Καὶ νῦν. Θεοτοκίον.

Ἦχος πλ. δ΄ Πα




* * *


Καὶ εὐθὺς ψάλλεται εἰς τὸν αὐτὸν ἦχον


Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δοξολογία Μανουὴλ Πρωτοψάλτου.

Ἦχος πλ. δ Πα





νος εκ δε ξι ω ων του Πα τρος και ε λε η σον η
μας
Ο τι συ ει μο νος Α γι ος Συ ει ει μο νος
Κυ ρι ος Ι η σους Χρι στος εις δο ξαν Θε ου Πα τρος α
μην
Κ αθ ε κα στην η με ραν ευ λο γη σω Σε και
αι νε ε σω το ο νο μα α Σου εις τον αι ω ω να
και εις τον αι ω να του αι ω ω νος
Κ α τα ξι ι ω σον Κυ ρι ε εν τη η με ρα
τα αυ τη α να μα ρτη τους φυ λα χθη ναι η μας
Ε υ λο γη τος ει Κυ ρι ε ο Θε ος των πα τε
ε ρων η μων και αι νε το ον και δε δο ξα σμε ε
νον το ο νο μα α Σου εις τους αι ω νας α μην
Γ ε νοι το Κυ ρι ε το ε λε ος Σου εφ η μας κα
θα περ ηλ πι ι ι σα μεν ε πι Σε
Ε υ λο γη το ος ει Κυ ρι ε δι δα ξον με τα δι


(τρίς)
και ω μα τα Σϐ
Κ υ ρι ε κα τα φυ γη ε γε νη η θης η μιν εν
γε νε α και γε νε α ε γω ει πα Κυ ρι ε ε λε
η σο ον με ι α σαι την ψυ χην μου ου ο τι η μαρ
τον Σοι
Κ υ ρι ε προς Σε κα τε φυ γον δι δα ξο ον με
του ποι ειν το θε λη μα α Σου ο τι Συ ει ο Θε ο ος
μου
Ο τι πα ρα Σοι πη γη ζω ης εν τω φω τι Σου
ο ψο με θα φως
Π α ρα τει νον το ε λε ος Σου ου τοις γι νω σκου
σι Σε
Α γι ος ο Θε ος Α γι ος Ι σχυ ρος Α γι
ος α θα να τος ε λε η σον η μας (τρίς)
Δ ο ξα Πα τρι ι και Υι ω και α γι ω Πνευ μα τι
Κ αι νυ υν και α ει και εις τους αι ω νας των






Ἀσματικὸν.



Καὶ τὸ ἀπολυτίκιον τοῦ Ἱεράρχου.

Ταχὺ προκατάλαβε. Ἦχος Δι




* * * * *

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικὰ


Τὰ ἑξαπλᾶ.

Ἦχος πλ. Νη ϙ




Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος πλ. Νη ϙ



Ἀθανασίου Καραμάνη.

Ἦχος πλ. Νη ϛ




καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...


Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ρια΄ (91).

Ἦχος δι


Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (ρια΄ 2)




Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωὶ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (ρια΄ 3)




Στίχ. γ΄. Ὅτι εὐφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (Ϟα΄ 5)



Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (Ϟα΄ 16)



Δόξα. Καὶ νῦν.




Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·


Ὅτι σὸν τὸ κράτος...


Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς Ϟβ΄ (92).

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (Ϟβ΄ 1)





Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (Ϟβ΄ 1)







Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (Ҷβ΄ 4)







Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (Ҷβ΄ 5)





Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.





Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·


Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...


Ἀντίφωνον Γ΄. Ἦχος α΄. (Ἐκλογή).

Ἦχος Πα


Στίχ. α΄. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. (ριε΄ 6)

Τὸ ἀπολυτίκιον τοῦ Ἱεράρχου.







Στίχ. β΄. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. (ρια΄ 1)



Στίχ. γ΄. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. (ρλα΄ 9)






* * *

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ


Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι




ὁ β΄ χορός:




* * *

Τὸ ἀπολυτίκιον τοῦ Ἱεράρχου.


Ἦχος Πα





Ἕτερον.

Ταχὺ προκατάλαβε. Ἦχος Δι





Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Δόξα.

Κοντάκιον τοῦ Ἱεράρχου.

Τῇ ὑπερμάχῳ. Ἦχος Νη






Καὶ νῦν.

Κοντάκιον τῶν Εἰσοδίων τῆς Θεοτόκου.

(ἀπὸ ἡ΄ ἕως κε΄ πλὴν τῆς κ΄ Νοεμβρίου).

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλειτουργον)


Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος Δι




* * *


ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ


Ἦχος πλ. Δι





Τό τρίτον.













Τρισάγιον. Σύντομον.

Ἦχος Δι




Δύναμις τοῦ βήματος.


Ἦχος Δι




Ἕτερον ὑπό Γεωργίου Κρητός († 1816)

Ἦχος Δι




A
α α α α α α α α α α α α
α α α α α α γι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι α α α α α γι ι ο ο
ο ο ος ο ο ο Θε ο ο ο ο ο ο ο ο ο ο
ο ο ο ος
A
α α α α α α α α α α α α
α α α α α α γι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι α α α α α γι ο
ο ο ο ος ι ι ι σχυ ρο ο ο ο ο ο ο ο ο
ο ο ο ο ος
A
α α α α α γι ο ο ο ο ος α
θα α α α α α α α α α α α α α α α θα
α να α α τος
E
λε ε ε ε λε ε ε η σον η μα



* * *

ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἐφεσίους (ε΄ 8-19).

(Ζήτει τῇ Δευτέρᾳ τοῦ Ἁγίου Πνεύματος).

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος α΄.

Ὁ διάκονος· Πρόσχωμεν.


Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. (μη΄ 4)


Στίχ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. (μη΄ 2)

Ἢ ὁ ψάλτης.


Ἦχος Πα



Στίχ. α΄. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. (μη΄ 2)



Στίχ. β΄. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. (μη΄ 5)



Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·


Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.


Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε· —ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ· —δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾽ αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν· τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστι. Διὸ λέγει· Ἔγειρε ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι ἀλλ᾽ ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου. Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν Πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

Ἀλληλούϊα. Ἦχος β΄. Ψαλμὸς λϚ΄.

Ἦχος





Στίχ. α΄. Στόμα δικαίου μελετήσει σοφίαν,






Στίχ. β΄. Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων











ΕΥΑΓΓΕΛΙΟΝ


Ἐκ τοῦ κατὰ Ματθαῖον (δ΄ 25, ε΄ 1-12).

(Ζήτει τῇ Ι΄ Ἰανουαρίου, τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης)

Τῷ καιρῷ ἐκείνῳ ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας, καὶ Δεκαπόλεως, καὶ Ἱεροσολύμων, καὶ Ἰουδαίας, καὶ πέραν τοῦ Ἰορδάνου. Ἰδὼν δὲ τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος, καὶ καθίσαντος αὐτοῦ, προσῆλθαν αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ. Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτούς, λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ᾽ ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ἦχος ἀ Δι







* * *

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου.


Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος Δι




γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον
προ σα α α δο ο ο υ μνον προ ο σα α α
δο ο ον τε ες πα α α α α α σα α α α
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε
ρι ι ι μνα α α α α α α α α α αν
Ω ς τον βα σι ι λε ε ε ε ε ε
ε ε ε ε ε ε ε βα α σι ι λε ε ε
ε ε ε ε α
Τ ω ων ο ο ο ο ο λω ω ω ω ων υ
πο ο δε ξο ο ο με νοι οι Ται αις α αγ γε
λι ι και αις α ο ρα α α τω ως δο ο ρυ φο
ο ρϑ ϑ ϑ με νο ον τα α ξε σι ι ι ι ι
ι ι ι ι ιν Α λλη λϑ ϑ ϑ ϊ ϊ ϊ ϊ
α α α α α

Τὰ Λειτουργικὰ,
ὡς διασώθηκαν ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ,
κατὰ παράδοσιν ἀρχαιοτάτην. Καταγραφὴ Κ. Ψάχου.


Ἦχος




Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.


* * *






Εἰς τό· Ἐξαιρέτως τῆς Παναγίας...


Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι







Τῇ Τρίτῃ. Κοινωνικόν, Πέτρου Λαμπαδαρίου.

Ἦχος Βαρύς Ζω




υ υ υ υ υ υ υ ει ει εις μνη η μο ο ο
συ υ νο ο ον αι ω ω ω ω ω ω ω ω
ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω αι αι
αι ω ω ω ω ϙω ω ω ω ω ω ω ω ω αι
ω ω ω ω ω ω ω ω ω ω ω ω χω ω ω ω
ω ω ω ω ω ω ω ω ω ω ω ω νι ι ι
ι ι ι αι αι ω ω ω ω ω ω ω νι ι ι
ο ο ο ο ο ο ο ο ο ο ον ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε σται αι αι ε σται αι δι ι ι ι ι ι ι
ι ι ι ι χι ι ι ι ι ι ι ι ι ι ι
χι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι χι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι χι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ε
Μ
Πα
Ζω
Νη
Ζω
Κε
Δι
Κε
Πα
Ζω




Ἐκ τοῦ Ταμείου Ἀνθολογίας Θεοδώρου παπα-Παράσχου, Φωκαέως, μετὰ σημάνσεως τῶν ῥυθμικῶν ποδῶν καὶ τῶν ἔλξεων, ὡς καί τινων ἄλλων σημείων, παρὰ Ἰωάννου Β. Ἀρβανίτη, μουσικοδιδασκάλου.


ΑΘΗΝΑΙ 2003

Οἱ ἐντὸς παρενθέσεως ἔλξεις καὶ φθορὲς ἐκτελοῦνται κατὰ βούλησιν.

Ἦχος Δι



Ἦχος πλ. Δι



Ἦχος πλ. Δι

